# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: daw-ao

Ἀριστοφάνης ὁ Ἀθηναῖος · Aristophanes of Athens

## Wealth

Πλοῦτος

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

Ὡς ἀργαλέον πρᾶγμ’ ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
Ἢν γὰρ τὰ βέλτισθ’ ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
Καὶ ταῦτα μὲν δὴ ταῦτα· τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς
μελαγχολῶντ’ ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ’ αὐτῷ ποεῖν.
Οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα,
οὗτος δ’ ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ’ ἀποκρινόμενος τὸ παράπαν οὐδὲ γρῦ.
Ἐγὼ μὲν οὖν οὐκ ἔσθ’ ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς ὅ τι τῷδ’ ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ’, ἀλλά σοι παρέξω πράγματα.
Οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.
Μὰ Δί’ ἀλλ’ ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
ἵνα μᾶλλον ἀλγῇς.
Λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι τίς ποτ’ ἐστὶν οὑτοσί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

25.1 Εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα. Ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
25.2 πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
25.3 Ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
25.4 κακῶς ἔπραττον καὶ πένης ἦν.
29 Οἶδά τοι.
30.1 Ἕτεροι δ' ἐπλούτουν. ἱερόσυλοι, ῥήτορες
30.2 καὶ συκοφάνται καὶ πονηροί.
31.1 Πείθομαι. Ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεόν,
31.2 τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
31.3 ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
35.1 τὸν δ' υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
35.2 πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους
35.3 εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
35.4 ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν. «Τί δῆτα Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;»
40.1 Πεύσει. Σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι ταδί·
40.2 ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,
40.3 ἐκέλευε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
40.4 πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε. Καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ;
44 Τουτῳί.
45.1 Εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ φράζουσαν, ὦ σκαιότατέ, σοι σαφέστατα
45.2 ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον; Τῷ τοῦτο κρίνεις;
48.1 Δῆλον ὁτιὴ καὶ τυφλῷ
48.2 γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον
unit_17 τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν γένει.
unit_18.1 Οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
unit_18.2 ἀλλ' εἰς ἕτερόν τι μεῖζον. Ἢν δ' ἡμῖν φράσῃ
unit_18.3 ὅστις ποτ' ἐστὶν οὑτοσὶ καὶ τοῦ χάριν
unit_18.4 καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
55 πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.
unit_20.1 Ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ φράσεις,
unit_20.2 ἢ τἀπὶ τούτοις δρῶ; Λέγειν χρὴ ταχὺ πάνυ.
58 Ἐγὼ μὲν οἰμώζειν λέγω σοι.
58.1 Μανθάνεις
58.2 ὅς φησιν εἶναι;
59 Σοὶ λέγει τοῦτ', οὐκ ἐμοί·
60.1 σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
60.2 Ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
60.3 ἐμοὶ φράσον.
62

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κλάειν ἔγωγέ σοι λέγω.

unit_26 Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

unit_27 Οὔ τοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.

65 Εἰ μὴ φράσεις γάρ, ἀπό ς’ ὀλῶ κακὸν κακῶς.

unit_29 Ὦ τᾶν, ἀπαλλάχθητον ἀπ’ ἐμοῦ.

66 Πώμαλα.

unit_31.1 Καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστ’, ὦ δέσποτα.

unit_31.2 Ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.

unit_31.3 Ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν’ αὐτὸν καταλιπὼν

70 ἄπειμ’, ἵν’ ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.

unit_33 Ἀλλ’ αἶρε ταχέως.

71 Μηδαμῶς.

71 Οὔκουν ἐρεῖς;

unit_36.1 Ἀλλ’ ἢν πύθησθέ μ’ ὅστις εἴμ’, εὖ οἶδ’ ὅτι

unit_36.2 κακόν τί μ’ ἐργάσεσθε κοὐκ ἀφήσετον.

unit_37 Νὴ τοὺς θεοὺς ἡμεῖς γ’, ἐὰν βούλῃ γε σύ.

75 Μέθεσθέ νύν μου πρῶτον.

75 Ἤν, μεθίεμεν.

unit_40.1 Ἀκούετον δή· δεῖ γάρ, ὡς ἔοικέ, με

unit_40.2 λέγειν ἃ κρύπτειν ἦν παρεσκευασμένος.

unit_40.3 Ἐγὼ γάρ εἰμι Πλοῦτος.

78.1 Ὦ μιαρώτατε

78.2 ἀνδρῶν ἁπάντων, εἶτ’ ἐσίγας Πλοῦτος ὤν;

80.1 Σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;

80.2 Ὦ Φοῖβ’ Ἄπολλον καὶ θεοὶ καὶ δαίμονες

80.3 καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ;

82 Ναί.

unit_44 Ἐκεῖνος αὐτός;

83 Αὐτότατος.

83.1 Πόθεν οὖν, φράσον,

83.2 αὐχμῶν βαδίζεις;

84 Ἐκ Πατροκλέους ἔρχομαι,

85 ὃς οὐκ ἐλούσατ’ ἐξ ὅτουπερ ἐγένετο.

unit_49 Τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.

unit_50.1 Ὁ Ζεύς με ταῦτ’ ἔδρασεν ἀνθρώποις φθονῶν.

unit_50.2 Ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλης’ ὅτι

unit_50.3 ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους

90.1 μόνους βαδιοίμην· ὁ δέ μ’ ἐποίησεν τυφλόν,

90.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
90.3 Οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
unit_52.1 Καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους
unit_52.2 καὶ τοὺς δικαίους.
94 Ὁμολογῶ σοι.
94 Φέρε, τί οὖν;
95.1 Εἰ πάλιν ἀναβλέψειας, ὥσπερ καὶ πρὸ τοῦ,
95.2 φεύγοις ἂν ἤδη τοὺς πονηρούς;
96 Φήμ’ ἐγώ.
unit_57 Ὡς τοὺς δικαίους δ’ ἂν βαδίζοις;
97.1 Πάνυ μὲν οὖν·
97.2 πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακά πω χρόνου.
unit_59 Καὶ θαῦμά γ’ οὐδέν· οὐδ’ ἐγὼ γὰρ ὁ βλέπων.
unit_60 Ἄφετόν με νῦν· ἴστον γὰρ ἤδη τἀπ’ ἐμοῦ.
unit_61 Μὰ Δί’, ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
unit_62.1 Οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
unit_62.2 ἐμέλλετόν μοι;
103.1 Καὶ σύ γ’, ἀντιβολῶ, πιθοῦ,
103.2 καὶ μή μ’ ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
105 ζητῶν ἔτ’ ἄνδρα τοὺς τρόπους βελτίονα.
unit_65 Μὰ τὸν Δί’, οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.
unit_66.1 Ταυτὶ λέγουσι πάντες· ἡνίκ’ ἂν δέ μου
unit_66.2 τύχωσ’ ἀληθῶς καὶ γένωνται πλούσιοι,
unit_66.3 ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
110 Ἔχει μὲν οὕτως, εἰσὶ δ’ οὐ πάντες κακοί.
unit_68 Μὰ Δί’, ἀλλ’ ἁπαξάπαντες.
111 Οἰμώξει μακρά.
unit_70.1 Σοὶ δ’ ὡς ἂν εἰδῇς ὅσα, παρ’ ἡμῖν ἢν μένῃς,
unit_70.2 γενήσετ’ ἀγαθά, πρόσεχε τὸν νοῦν ἵνα πύθῃ.
unit_70.3 Οἶμαι γάρ, οἶμαι—ξὺν θεῷ δ’ εἰρήσεται—
115.1 ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας
115.2 βλέψαι ποήσας.
116.1 Μηδαμῶς τοῦτ’ ἐργάσῃ·
116.2 οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι.
117 Τί φῄς;
unit_74 Ἅνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
unit_75 Ὁ Ζεὺς μὲν οὖν οἶδ’ ὡς, τὰ τούτων μῶρ’ ἔμ’ εἰ
120 πύθοιτ’, ἂν ἐπιτρίψειε.
120.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νῦν δ’ οὐ τοῦτο δρᾷ,
120.2 ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
unit_78 Οὐκ οἶδ’· ἐγὼ δ’ ἐκεῖνον ὀρρωδῶ πάνυ.
unit_79.1 Ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
unit_79.2 Οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
125.1 καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
125.2 ἐὰν ἀναβλέψῃς σὺ κἂν σμικρὸν χρόνον;
unit_81 Ἆ, μὴ λέγ’, ὦ πόνηρε, ταῦτ’.
127.1 Ἔχ’ ἥσυχος.
127.2 Ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
127.3 μεῖζον δυνάμενον.
129 Ἐμὲ σύ;
129 Νὴ τὸν οὐρανόν.
130 Αὐτίκα γὰρ—ἄρχει διὰ τί ὁ Ζεὺς τῶν θεῶν;
unit_86 Διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ’ αὐτῷ.
131.1 Φέρε,
131.2 τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ’;
132 Ὁδί.
unit_89 Θύουσι δ’ αὐτῷ διὰ τίν’; Οὐ διὰ τουτονί;
unit_90 Καὶ νὴ Δί’ εὔχονταί γε πλουτεῖν ἄντικρυς.
135.1 Οὔκουν ὅδ’ ἐστὶν αἴτιος καὶ ῥᾳδίως
135.2 παύσειεν, εἰ βούλοιτο, ταῦτ’ ἄν;
136 Ὅτι τί δή;
unit_93.1 Ὅτι οὐδ’ ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι
unit_93.2 οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ’ οὐδὲ ἕν,
unit_93.3 μὴ βουλομένου σοῦ.
139 Πῶς;
139 Ὅπως; οὐκ ἔσθ’ ὅπως
140.1 ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
140.2 αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς
140.3 τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
unit_97 Τί λέγεις; δι’ ἐμὲ θύουσιν αὐτῷ;
143.1 Φήμ’ ἐγώ.
143.2 Καὶ νὴ Δί’ εἴ τί γ’ ἐστὶ λαμπρὸν καὶ καλὸν
145.1 ἢ χαρίεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
145.2 Ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ’ ὑπήκοα.
unit_100.1 Ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
unit_100.2 δοῦλος γεγένημαι πρότερον ὢν ἐλεύθερος.
unit_101

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ τάς γ’ ἑταίρας φασὶ τὰς Κορινθίας,
unit_102.1 ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
unit_102.2 οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
unit_102.3 τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
unit_103.1 Καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν
unit_103.2 οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
155.1 Οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
155.2 αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί.
156 Τί δαί;
unit_106 Ὁ μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικάς.
unit_107.1 Αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
unit_107.2 ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.
160 Τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα
unit_109.1 ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ’ ηὑρημένα.
unit_109.2 Ὁ μὲν γὰρ ἡμῶν σκυτοτομεῖ καθήμενος,
unit_109.3 ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται,
unit_109.4 ὁ δὲ χρυσοχοεῖ γε χρυσίον παρὰ σοῦ λαβών, —
165 ὁ δὲ λωποδυτεῖ γε νὴ Δί’, ὁ δὲ τοιχωρυχεῖ, —
unit_111 ὁ δὲ κναφεύει γ’, —
166 ὁ δέ γε πλύνει κῴδια, —
unit_113 ὁ δὲ βυρσοδεψεῖ γ’—
167 ὁ δέ γε πωλεῖ κρόμμυα, —
unit_115 ὁ δ’ ἁλούς γε μοιχὸς διὰ σέ που παρατίλλεται.
unit_116 Οἴμοι τάλας, ταυτί μ’ ἐλάνθανεν πάλαι.
170.1 Μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
170.2 Ἐκκλησία δ’ οὐχὶ διὰ τοῦτον γίγνεται;
unit_118 Τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.
unit_119.1 Τὸ δ’ ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
unit_119.2 Ὁ Πάμφιλος δ’ οὐχὶ διὰ τοῦτον κλαύσεται;
175 Ὁ βελονοπώλης δ’ οὐχὶ μετὰ τοῦ Παμφίλου;
unit_121 Ἀγύρριος δ’ οὐχὶ διὰ τοῦτον πέρδεται;
unit_122.1 Φιλέψιος δ’ οὐχ ἕνεκα σοῦ μύθους λέγει;
unit_122.2 Ἡ ξυμμαχία δ’ οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;
unit_123 Ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;
180 Ὁ Τιμοθέου δὲ πύργος—
180.1 ἐμπέσοι γέ σοι.
180.2 Τὰ δὲ πράγματ’ οὐχὶ διὰ σὲ πάντα πράττεται;
180.3 Μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος
180.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ’ ὅτι.
unit_126 Κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε,
185 ἐφ’ οἷς ἂν οὗτος ἐπικαθέζηται μόνον.
unit_128 Ἐγὼ τοσαῦτα δυνατός εἰμ’ εἷς ὢν ποεῖν;
unit_129.1 Καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
unit_129.2 ὥστ’ οὐδὲ μεστός σου γέγον’ οὐδεὶς πώποτε.
unit_129.3 Τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
190 ἔρωτος, —
190 ἄρτων, —
190 μουσικῆς, —
190 τραγημάτων, —
unit_134 τιμῆς, —
191 πλακούντων, —
191 ἀνδραγαθίας, —
191 ἰσχάδων, —
unit_138 φιλοτιμίας, —
192 μάζης, —
192 στρατηγίας, —
192 φακῆς, —
unit_142.1 σοῦ δ’ ἐγένετ’ οὐδεὶς μεστὸς οὐδεπώποτε.
unit_142.2 Ἀλλ’ ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
195.1 πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
195.2 κἂν ταῦθ’ ἁνύσηται, τετταράκοντα βούλεται,
195.3 ἢ οὔ φησιν εἶν’ αὑτῷ βιωτὸν τὸν βίον.
unit_144.1 Εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
unit_144.2 πλὴν ἓν μόνον δέδοικα—
199 Φράζε, τοῦ πέρι;
unit_146.1 ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε
unit_146.2 ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
unit_147.1 Νὴ τὸν Δί’, ἀλλὰ καὶ λέγουσι πάντες ὡς
unit_147.2 δειλότατόν ἐσθ’ ὁ πλοῦτος.
203.1 Ἥκιστ’, ἀλλά με
203.2 τοιχωρύχος τις διέβαλ’. Εἰσδὺς γάρ ποτε
205.1 οὐκ εἶχεν εἰς τὴν οἰκίαν οὐδὲν λαβεῖν,
205.2 εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα·
205.3 εἶτ’ ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.
unit_150.1 Μή νυν μελέτω σοι μηδέν· ὡς ἐὰν γένῃ
unit_150.2 ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
210

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βλέποντ’ ἀποδείξω ς’ ὀξύτερον τοῦ Λυγκέως.
unit_152 Πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι θνητὸς ὤν;
unit_153.1 Ἔχω τιν’ ἀγαθὴν ἐλπίδ’ ἐξ ὧν εἶπέ μοι
unit_153.2 ὁ Φοῖβος αὐτὸς Πυθικὴν σείσας δάφνην.
unit_154 Κἀκεῖνος οὖν ξύνοιδε ταῦτα;
214 Φήμ’ ἐγώ.
215 Ὁρᾶτε—
215.1 Μὴ φρόντιζε μηδέν, ὦγαθέ.
215.2 Ἐγὼ γάρ, εὖ τοῦτ’ ἴσθι, κἂν δῇ μ’ ἀποθανεῖν,
215.3 αὐτὸς διαπράξω ταῦτα.
217 Κἂν βούλῃ γ’, ἐγώ.
unit_159.1 Πολλοὶ δ’ ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
unit_159.2 ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
220 Παπαῖ, πονηρούς γ’ εἶπας ἡμῖν ξυμμάχους.
unit_161.1 Οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
unit_161.2 Ἀλλ’ ἴθι σὺ μὲν ταχέως δραμών—
222 Τί δρῶ; λέγε.
unit_163.1 τοὺς ξυγγεώργους κάλεσον, —εὑρήσεις δ’ ἴσως
unit_163.2 ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους, —
225.1 ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν
225.2 ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
unit_165.1 Καὶ δὴ βαδίζω. Τουτοδὲ τὸ κρεᾴδιον
unit_165.2 τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
unit_166 Ἐμοὶ μελήσει τοῦτό γ’· ἀλλ’ ἁνύσας τρέχε.
230.1 Σὺ δ’, ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
230.2 εἴσω μετ’ ἐμοῦ δεῦρ’ εἴσιθ’· ἡ γὰρ οἰκία
230.3 αὕτη ’στὶν ἣν δεῖ χρημάτων σε τήμερον
230.4 μεστὴν ποῆσαι καὶ δικαίως κἀδίκως.
unit_168 Ἀλλ’ ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς
235.1 εἰς οἰκίαν ἑκάστοτ’ ἀλλοτρίαν πάνυ·
235.2 ἀγαθὸν γὰρ ἀπέλαυς’ οὐδὲν αὐτοῦ πώποτε.
235.3 Ἢν μὲν γὰρ ὡς φειδωλὸν εἰσελθὼν τύχω,
235.4 εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
235.5 κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος
240 αἰτῶν λαβεῖν τι σμικρὸν ἀργυρίδιον,
unit_171.1 ἔξαρνός ἐστι μηδ’ ἰδεῖν με πώποτε.
unit_171.2 Ἢν δ’ ὡς παραπλῆγ’ ἄνθρωπον εἰσελθὼν τύχω,
unit_171.3 πόρναισι καὶ κύβοισι παραβεβλημένος
unit_171.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυμνὸς θύραζ’ ἐξέπεσον ἐν ἀκαρεῖ χρόνου.
245.1 Μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
245.2 Ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ’ ἀεί·
245.3 χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνὴρ
245.4 πάλιν τ’ ἀναλῶν, ἡνίκ’ ἂν τούτου δέῃ.
245.5 Ἀλλ’ εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
unit_173.1 καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
unit_173.2 ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ.
251 Πείθομαι.
unit_175 Τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;
unit_176.1 Ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταὐτὸν θύμον φαγόντες,
unit_176.2 ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί,
255.1 ἴτ’, ἐγκονεῖτε, σπεύδεθ’, ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
255.2 ἀλλ’ ἔστ’ ἐπ’ αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ’ ἀμύνειν.
257.1 Οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
257.2 ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη;
257.3 Σὺ δ’ ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι μοι
260 ὅτου χάριν μ’ ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.
unit_180.1 Οὔκουν πάλαι δήπου λέγω; Σὺ δ’ αὐτὸς οὐκ ἀκούεις.
unit_180.2 Ὁ δεσπότης γάρ φησιν ὑμᾶς ἡδέως ἅπαντας
unit_180.3 ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
unit_181 Ἔστιν δὲ δὴ τί καὶ πόθεν τὸ πρᾶγμα τοῦθ’ ὅ φησιν;
265.1 Ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν’, ὦ πόνηροι,
265.2 ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν·
265.3 οἶμαι δὲ νὴ τὸν οὐρανὸν καὶ ψωλὸν αὐτὸν εἶναι.
unit_183.1 Ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.
unit_183.2 Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
270 Πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ’ ἔχοντα σωρόν.
unit_185.1 Μῶν ἀξιοῖς φενακίσας ἔπειτ’ ἀπαλλαγῆναι
unit_185.2 ἀζήμιος, καὶ ταῦτ’ ἐμοῦ βακτηρίαν ἔχοντος;
unit_186.1 Πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
unit_186.2 ἡγεῖσθέ μ’ εἶναι κοὐδὲν ἂν νομίζεθ’ ὑγιὲς εἰπεῖν;
275.1 Ὡς σεμνὸς οὑπίτριπτος. Αἱ κνῆμαι δέ σου βοῶσιν
275.2 ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
unit_188.1 Ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,
unit_188.2 σὺ δ’ οὐ βαδίζεις; Ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.
unit_189 Διαρραγείης. Ὡς μόθων εἶ καὶ φύσει κόβαλος,
280 ὅστις φενακίζεις, φράσαι δ’ οὔπω τέτληκας ἡμῖν,
281-282

οἳ πολλὰ μοχθήσαντες οὐκ οὔσης σχολῆς προθύμως
δεῦρ’ ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.
unit_193 Ἀλλ’ οὐκέτ’ ἂν κρύψαιμι. Τὸν Πλοῦτον γάρ, ὦνδρες, ἥκει
ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποήσει.
unit_195 Ὄντως γὰρ ἔστι πλουσίοις ἡμῖν ἅπασιν εἶναι;
unit_196 Νὴ τοὺς θεούς, Μίδας μὲν οὖν, ἢν ὦτ’ ὄνου λάβητε.
unit_197.1 Ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι
unit_197.2 ὑφ’ ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ’ ἀληθῆ.
Καὶ μὴν ἐγὼ βουλήσομαι—θρεττανελο—τὸν Κύκλωπα
μιμούμενος καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. Ἀλλ’ εἶα, τέκεα, θαμίν’ ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη
ἕπεσθ’ ἀπεψωλημένοι· τράγοι δ’ ἀκρατιεῖσθε.
unit_200.1 Ἡμεῖς δέ γ’ αὖ ζητήσομεν—θρεττανελο—τὸν Κύκλωπα
unit_200.2 βληχώμενοι σὲ τουτονὶ πινῶντα καταλαβόντες,
unit_200.3 πήραν ἔχοντα λάχανά τ’ ἄγρια δροσερά, κραιπαλῶντα
unit_200.4 ἡγούμενον τοῖς προβατίοις,
unit_201.1 εἰκῇ δὲ καταδαρθόντα που
unit_201.2 μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι.
unit_202.1 Ἐγὼ δὲ τὴν Κίρκην γε, τὴν τὰ φάρμακ’ ἀνακυκῶσαν,
unit_202.2 ἣ τοὺς ἑταίρους τοῦ—Φιλωνίδου ποτ’ ἐν Κορίνθῳ
unit_202.3 ἔπεισεν ὡς ὄντας κάπρους
μεμαγμένον σκῶρ ἐσθίειν, —αὐτὴ δ’ ἔματτεν αὐτοῖς, —
unit_204.1 μιμήσομαι πάντας τρόπους·
unit_204.2 ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας
unit_204.3 ἕπεσθε μητρί, χοῖροι.
unit_205 Οὐκοῦν σέ, τὴν Κίρκην γε, τὴν τὰ φάρμακ’ ἀνακυκῶσαν
καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους
λαβόντες ὑπὸ φιληδίας
τὸν Λαρτίου μιμούμενοι τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ’ ὥσπερ τράγου
τὴν ῥῖνα· σὺ δ’ Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς·
«Ἕπεσθε μητρί, χοῖροι.»
unit_208.1 Ἀλλ’ εἶά νυν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
unit_208.2 ὑμεῖς ἐπ’ ἄλλ’ εἶδος τρέπεσθ’,
unit_208.3 ἐγὼ δ’ ἰὼν ἤδη λάθρᾳ
unit_208.4 βουλήσομαι τοῦ δεσπότου

λαβών τιν’ ἄρτον καὶ κρέας
320.2 μασώμενος τὸ λοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.
unit_210 〈ΧΟΡΟΥ〉
322.1 «Χαίρειν» μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
322.2 ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
322.3 «ἀσπάζομαι» δ’ ὁτιὴ προθύμως ἥκετε
325.1 καὶ συντεταμένως κοὐ κατεβλακευμένως.
325.2 Ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
325.3 ἔσεσθε καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.
unit_213.1 Θάρρει· βλέπειν γὰρ ἄντικρυς δόξεις μ’ Ἄρη.
unit_213.2 Δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα
330.1 ὠστιζόμεσθ’ ἑκάστοτ’ ἐν τἠκκλησίᾳ,
330.2 αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.
unit_215.1 Καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
unit_215.2 προσιόντα· δῆλος δ’ ἐστὶν ὅτι τοῦ πράγματος
unit_215.3 ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.
335.1 Τί ἂν οὖν τὸ πρᾶγμ’ εἴη; Πόθεν καὶ τίνι τρόπῳ
335.2 Χρεμύλος πεπλούτηκ’ ἐξαπίνης; Οὐ πείθομαι.
335.3 Καίτοι λόγος γ’ ἦν νὴ τὸν Ἡρακλέα πολὺς
335.4 ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
335.5 ὡς ἐξαπίνης ἁνὴρ γεγένηται πλούσιος.
340.1 Ἔστιν δέ μοι τοῦτ’ αὐτὸ θαυμάσιον, ὅπως
340.2 χρηστόν τι πράττων τοὺς φίλους μεταπέμπεται.
340.3 Οὔκουν ἐπιχώριόν γε πρᾶγμ’ ἐργάζεται.
unit_218.1 Ἀλλ’ οὐδὲν ἀποκρύψας ἐρῶ μὰ τοὺς θεούς.
unit_218.2 Ὦ Βλεψίδημ’, ἄμεινον ἢ χθὲς πράττομεν,
345 ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.
unit_220 Γέγονας δ’ ἀληθῶς, ὡς λέγουσι, πλούσιος;
unit_221.1 Ἔσομαι μὲν οὖν αὐτίκα μάλ’, ἢν θεὸς θέλῃ.
unit_221.2 Ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.
unit_222 Ποῖός τις;
349 Οἷος—
349 Λέγ’ ἀνύσας ὅ τι φῄς ποτε.
unit_225.1 ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί·
unit_225.2 ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι τὸ παράπαν.
unit_226.1 Τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον
unit_226.2 καί μ’ οὐκ ἀρέσκει. Τό τε γὰρ ἐξαίφνης ἄγαν
unit_226.3 οὕτως ὑπερπλουτεῖν τό τ’ αὖ δεδοικέναι
355

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ’ εἰργασμένου.
unit_228 Πῶς οὐδὲν ὑγιές;
356.1 Εἴ τι κεκλοφὼς νὴ Δία
356.2 ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον
356.3 παρὰ τοῦ θεοῦ, κᾄπειτ’ ἴσως σοι μεταμέλει.
unit_230 Ἄπολλον ἀποτρόπαιε, μὰ Δί’ ἐγὼ μὲν οὔ.
360 Παῦσαι φλυαρῶν, ὦγάθ’· οἶδα γὰρ σαφῶς.
unit_232 Σὺ μηδὲν εἰς ἔμ’ ὑπονόει τοιουτονί.
unit_233 Φεῦ,
362.1 ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός,
362.2 ἀλλ’ εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
unit_235 Οὔ τοι μὰ τὴν Δήμητρ’ ὑγιαίνειν μοι δοκεῖς.
365 Ὡς πολὺ μεθέστηχ’ ὧν πρότερον εἶχεν τρόπων.
unit_237 Μελαγχολᾷς, ὦνθρωπε, νὴ τὸν οὐρανόν.
unit_238.1 Ἀλλ’ οὐδὲ τὸ βλέμμ’ αὐτὸ κατὰ χώραν ἔχει,
unit_238.2 ἀλλ’ ἐστὶν ἐπιδηλοῦν τι πεπανουργηκότα.
unit_239 Σὺ μὲν οἶδ’ ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος
370 ζητεῖς μεταλαβεῖν.
370 Μεταλαβεῖν ζητῶ; τίνος;
unit_242 Τὸ δ’ ἐστὶν οὐ τοιοῦτον, ἀλλ’ ἑτέρως ἔχον.
unit_243 Μῶν οὐ κέκλοφας, ἀλλ’ ἥρπακας;
372 Κακοδαιμονᾷς.
unit_245 Ἀλλ’ οὐδὲ μὴν ἀπεστέρηκάς γ’ οὐδένα;
unit_246 Οὐ δῆτ’ ἔγωγ’.
374 Ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
375 τράποιτο; Τἀληθὲς γὰρ οὐκ ἐθέλει φράσαι.
unit_249 Κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
unit_250.1 Ὦ τᾶν, ἐγώ σοι τοῦτ’ ἀπὸ σμικροῦ πάνυ
unit_250.2 ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
unit_250.3 τὸ στόμ’ ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
380.1 Καὶ μὴν φίλως γ’ ἄν μοι δοκεῖς νὴ τοὺς θεοὺς
380.2 τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.
unit_252.1 Ὁρῶ τιν’ ἐπὶ τοῦ βήματος καθεδούμενον
unit_252.2 ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
unit_252.3 καὶ τῆς γυναικός, κοὐ διοίσοντ’ ἄντικρυς
385 τῶν Ἡρακλειδῶν οὐδ’ ὁτιοῦν τῶν Παμφίλου.
unit_254.1 Οὔκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
unit_254.2 [ἔγωγε καὶ τοὺς δικαίους καὶ σώφρονας]
unit_254.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπαρτὶ πλουτῆσαι ποήσω.

388.1 Τί σὺ λέγεις;

388.2 Οὕτω πάνυ πολλὰ κέκλοφας;

389 Οἴμοι τῶν κακῶν,

390 ἀπολεῖς.

390 Σὺ μὲν οὖν σεαυτόν, ὥς γ’ ἐμοὶ δοκεῖς.

unit_259.1 Οὐ δῆτ’, ἐπεὶ τὸν Πλοῦτον, ὦ μόχθηρε σύ,

unit_259.2 ἔχω.

392 Σὺ Πλοῦτον; ποῖον;

392 Αὐτὸν τὸν θεόν.

unit_262 Καὶ ποῦ ’στιν;

393 Ἔνδον.

393 Ποῦ;

393 Παρ’ ἐμοί.

393 Παρὰ σοί;

393 Πάνυ.

unit_268 Οὐκ ἐς κόρακας; Πλοῦτος παρὰ σοί;

394 Νὴ τοὺς θεούς.

395 Λέγεις ἀληθῆ;

395 Φημί.

395 Πρὸς τῆς Ἑστίας;

unit_273 Νὴ τὸν Ποσειδῶ.

396 Τὸν θαλάττιον λέγεις;

unit_275 Εἰ δ’ ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.

unit_276 Εἶτ’ οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς, τοὺς φίλους;

unit_277 Οὐκ ἔστι πω τὰ πράγματ’ ἐν τούτῳ.

399 Τί φῄς;

unit_279 Οὐ τῷ μεταδοῦναι;

unit_280 Μὰ Δία· δεῖ γὰρ πρῶτα—

unit_281 Τί;

unit_282 βλέψαι ποῆσαι νώ—

401 Τίνα βλέψαι; φράσον.

unit_284 τὸν Πλοῦτον, ὥσπερ πρότερον, ἑνί γέ τῳ τρόπῳ.

unit_285 Τυφλὸς γὰρ ὄντως ἐστί;

403 Νὴ τὸν οὐρανόν.

unit_287 Οὐκ ἐτὸς ἄρ’ ὡς ἔμ’ ἦλθεν οὐδεπώποτε.

405 Ἀλλ’ ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.

unit_289 Οὔκουν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινά;

unit_290.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τίς δῆτ’ ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
unit_290.2 Οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ’ οὔθ’ ἡ τέχνη.
unit_291 Σκοπῶμεν.
409 Ἀλλ’ οὐκ ἔστιν.
409 Οὐδ’ ἐμοὶ δοκεῖ.
410.1 Μὰ Δί’, ἀλλ’ ὅπερ πάλαι παρεσκευαζόμην
410.2 ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
410.3 κράτιστόν ἐστι.
412.1 Πολὺ μὲν οὖν, νὴ τοὺς θεούς.
412.2 Μή νυν διάτριβ’, ἀλλ’ ἅνυε πράττων ἕν γέ τι.
unit_296 Καὶ δὴ βαδίζω.
414 Σπεῦδέ νυν.
414 Τοῦτ’ αὐτὸ δρῶ.
415.1 Ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
415.2 τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε,
415.3 ποῖ ποῖ τί φεύγετον; οὐ μενεῖτον;
417 Ἡράκλεις.
unit_301.1 Ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς·
unit_301.2 τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετόν,
420.1 ἀλλ’ οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
420.2 οὔτε θεὸς οὔτ’ ἄνθρωπος. Ὥστ’ ἀπολώλατον.
unit_303 Σὺ δ’ εἶ τίς; Ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.
unit_304 Ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας·
unit_305 βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.
425 Ἀλλ’ οὐκ ἔχει γὰρ δᾷδας.
425 Οὐκοῦν κλαύσεται.
unit_308 Οἴεσθε δ’ εἶναι τίνα με;
426.1 Πανδοκεύτριαν
426.2 ἢ λεκιθόπωλιν. Οὐ γὰρ ἂν τοσουτονὶ
426.3 ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.
unit_310 Ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον
430 ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
unit_312.1 Οὔκουν ὑπόλοιπόν σοι τὸ βάραθρον γίγνεται;
unit_312.2 Ἀλλ’ ἥτις εἶ λέγειν ς’ ἐχρῆν αὐτίκα μάλα.
unit_313.1 Ἣ σφὼ ποήσω τήμερον δοῦναι δίκην
unit_313.2 ἀνθ’ ὧν ἐμὲ ζητεῖτον ἐνθένδ’ ἀφανίσαι.
435.1 Ἆρ’ ἐστὶν ἡ καπηλὶς ἡκ τῶν γειτόνων,
435.2 ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;
unit_315

Πενία μὲν οὖν, ᾗ σφῷν ξυνοικῶ πόλλ’ ἔτη.
unit_316 Ἄναξ Ἄπολλον καὶ θεοί, ποῖ τις φύγῃ;
unit_317 Οὗτος, τί δρᾷς; Ὦ δειλότατον σὺ θηρίον,
440 οὐ παραμενεῖς;
440 Ἥκιστα πάντων.
440.1 Οὐ μενεῖς;
440.2 Ἀλλ’ ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
unit_321 Πενία γάρ ἐστιν, ὦ πόνηρ’, ἧς οὐδαμοῦ
unit_322 οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.
unit_323 Στῆθ’, ἀντιβολῶ σε, στῆθι.
444 Μὰ Δί’ ἐγὼ μὲν οὔ.
445.1 Καὶ μὴν λέγω, δεινότατον ἔργον παρὰ πολὺ
445.2 ἔργων ἁπάντων ἐργασόμεθ’, εἰ τὸν θεὸν
445.3 ἔρημον ἀπολιπόντε ποι φευξούμεθα
445.4 τηνδὶ δεδιότε, μηδὲ διαμαχούμεθα.
unit_326 Ποίοισιν ὅπλοις ἢ δυνάμει πεποιθότε;
unit_327.1 Ποῖον γὰρ οὐ θώρακα, ποίαν δ’ ἀσπίδα
unit_327.2 οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
unit_328.1 Θάρρει· μόνος γὰρ ὁ θεὸς οὗτος οἶδ’ ὅτι
unit_328.2 τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.
unit_329 Γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
455 ἐπ’ αὐτοφώρῳ δεινὰ δρῶντ’ εἰλημμένω;
unit_331.1 Σὺ δ’, ὦ κάκιστ’ ἀπολουμένη, τί λοιδορεῖ
unit_331.2 ἡμῖν προσελθοῦς’ οὐδ’ ὁτιοῦν ἀδικουμένη;
unit_332.1 Οὐδὲν γάρ, ὢ πρὸς τῶν θεῶν, νομίζετε
unit_332.2 ἀδικεῖν με τὸν Πλοῦτον ποεῖν πειρωμένω
460 βλέψαι πάλιν;
460.1 Τί οὖν ἀδικοῦμεν τοῦτό σε,
460.2 εἰ πᾶσιν ἀνθρώποισιν ἐκπορίζομεν
460.3 ἀγαθόν;
462 Τί δ’ ἂν ὑμεῖς ἀγαθὸν ἐξεύροιθ’;
462 Ὅ τι;
unit_337 σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
unit_338 Ἔμ’ ἐκβαλόντες; Καὶ τί ἂν νομίζετε
465 κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώποις;
465.1 Ὅ τι;
465.2 εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.
unit_341.1 Καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
unit_341.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω μόνην
unit_341.3 ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
470.1 ὑμῖν δι’ ἐμέ τε ζῶντας ὑμᾶς ... —εἰ δὲ μή,
470.2 ποεῖτον ἤδη τοῦθ’ ὅ τι ἂν ὑμῖν δοκῇ.
unit_343 Ταυτὶ σὺ τολμᾷς, ὢ μιαρωτάτη, λέγειν;
unit_344.1 Καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
unit_344.2 ἅπανθ’ ἁμαρτάνοντά ς’ ἀποδείξειν ἐγώ,
475 εἰ τοὺς δικαίους φῄς ποήσειν πλουσίους.
unit_346 Ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;
unit_347 Οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.
unit_348.1 Καὶ τίς δύναιτ’ ἂν μὴ βοᾶν ἰοὺ ἰοὺ
unit_348.2 τοιαῦτ’ ἀκούων;
479 Ὅστις ἐστὶν εὖ φρονῶν.
480.1 Τί δῆτά σοι τίμημ’ ἐπιγράψω τῇ δίκῃ,
480.2 ἐὰν ἁλῷς;
481 Ὅ τι σοι δοκεῖ.
481 Καλῶς λέγεις.
unit_353 Τὸ γὰρ αὔτ’, ἐὰν ἡττᾶσθε, καὶ σφὼ δεῖ παθεῖν.
unit_354 Ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
unit_355 Ταύτῃ γε· νῷν δὲ δύ’ ἀποχρήσουσιν μόνω.
485.1 Οὐκ ἂν φθάνοιτε τοῦτο πράττοντες· τί γὰρ
485.2 ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;
unit_357.1 Ἀλλ’ ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν ᾧ νικήσετε τηνδὶ
unit_357.2 ἐν τοῖσι λόγοις ἀντιλέγοντες, μαλακὸν δ’ ἐνδώσετε μηδέν.
unit_358 Φανερὸν μὲν ἔγωγ’ οἶμαι γνῶναι τοῦτ’ εἶναι πᾶσιν ὁμοίως,
490.1 ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον,
490.2 τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους τούτων τἀναντία δήπου.
490.3 Τοῦτ’ οὖν ἡμεῖς ἐπιθυμοῦντες μόλις ηὕρομεν ὥστε γενέσθαι
490.4 βούλευμα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
490.5 Ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
495.1 ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ ἀπολείψει,
495.2 τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποήσει
495.3 πάντας χρηστοὺς—καὶ πλουτοῦντας δήπου—τά τε θεῖα σέβοντας.
495.4 Καίτοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι ποτ’ ἄμεινον;
unit_361 Οὐδείς· τούτου μάρτυς ἐγώ σοι· μηδὲν ταύτην γ’ ἀνερώτα.
unit_362.1 Ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
unit_362.2 τίς ἂν οὐχ ἡγοῖτ’ εἶναι μανίαν κακοδαιμονίαν τ’ ἔτι μᾶλλον;
unit_362.3 Πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροί,
unit_362.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδίκως αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ’ ὄντες πάνυ χρηστοὶ
unit_362.5 πράττουσι κακῶς καὶ πεινῶσιν μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.
505.1 Οὔκουν εἶναί φημ’, εἰ παύσει ταύτην βλέψας ποθ’ ὁ Πλοῦτος,
505.2 ὁδὸν ἥντιν’ ἰὼν τοῖς ἀνθρώποις ἀγάθ’ ἂν μείζω πορίσειεν.
unit_364.1 Ἀλλ’, ὦ πάντων ῥᾷστ’ ἀνθρώπων ἀναπεισθέντ’ οὐχ ὑγιαίνειν
unit_364.2 δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν,
unit_364.3 εἰ τοῦτο γένοιθ’ ὃ ποθεῖθ’ ὑμεῖς, οὔ φημ’ ἂν λυσιτελεῖν σφῷν.
510.1 Εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ’ ἴσον αὑτόν,
510.2 οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ’ ἂν σοφίαν μελετῴη
510.3 οὐδείς· ἀμφοῖν δ’ ὑμῖν τούτοιν ἀφανισθέντοιν ἐθελήσει
510.4 τίς χαλκεύειν ἢ ναυπηγεῖν ἢ ῥάπτειν ἢ τροχοποιεῖν,
510.5 ἢ σκυτοτομεῖν ἢ πλινθουργεῖν ἢ πλύνειν ἢ σκυλοδεψεῖν,
515.1 ἢ γῆς ἀρότροις ῥήξας δάπεδον καρπὸν Δηοῦς θερίσασθαι,
515.2 ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;
unit_367.1 Λῆρον ληρεῖς. Ταῦτα γὰρ ἡμῖν πάνθ’ ὅσα νυνδὴ κατέλεξας
unit_367.2 οἱ θεράποντες μοχθήσουσιν.
518 Πόθεν οὖν ἕξεις θεράποντας;
unit_369 Ὠνησόμεθ’ ἀργυρίου δήπου.
519 Τίς δ’ ἔσται πρῶτον ὁ πωλῶν,
520 ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ;
520.1 Κερδαίνειν βουλόμενός τις
520.2 ἔμπορος ἥκων ἐκ Θετταλίας παρ’ ἀπλήστων ἀνδραποδιστῶν.
unit_373 Ἀλλ’ οὐδ’ ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ’ ἀνδραποδιστὴς
unit_374.1 κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. Τίς γὰρ πλουτῶν ἐθελήσει
unit_374.2 κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποῆσαι;
525.1 Ὥστ’ αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν τἄλλα τε μοχθεῖν
525.2 ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.
526 Ἐς κεφαλὴν σοί.
unit_377.1 Ἔτι δ’ οὐχ ἕξεις οὔτ’ ἐν κλίνῃ καταδαρθεῖν, —οὐ γὰρ ἔσονται, —
unit_377.2 οὔτ’ ἐν δάπισιν, —τίς γὰρ ὑφαίνειν ἐθελήσει χρυσίου ὄντος; —
unit_377.3 Οὔτε μύροισιν μυρίσαι στακτοῖς ὁπόταν νύμφην ἀγάγησθον,
530.1 οὔθ’ ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
530.2 Καίτοι τί πλέον πλουτεῖν ἐστιν τούτων πάντων ἀποροῦντα;
530.3 Παρ’ ἐμοῦ δ’ ἐστὶν ταῦτ’ εὔπορα πάνθ’ ὑμῖν ὧν δεῖσθον· ἐγὼ γὰρ
530.4 τὸν χειροτέχνην ὥσπερ δέσποιν’ ἐπαναγκάζουσα κάθημαι
530.5 διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.
535.1 Σὺ γὰρ ἂν πορίσαι τί δύναι’ ἀγαθὸν πλὴν φῴδων ἐκ βαλανείου
535.2 καὶ παιδαρίων ὑποπεινώντων καὶ γραϊδίων κολοσυρτόν;
535.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φθειρῶν τ’ ἀριθμὸν καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
ἐπεγείρουσαι καὶ φράζουσαι· «Πεινήσεις· ἀλλ’ ἐπανίστω.»
Πρὸς δέ γε τούτοις ἀνθ’ ἱματίου μὲν ἔχειν ῥάκος· ἀντὶ δὲ κλίνης
στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει·
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ προσκεφαλαίου
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ’ ἀντὶ μὲν ἄρτων
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης φυλλεῖ’ ἰσχνῶν ῥαφανίδων,
ἀντὶ δὲ θράνου στάμνου κεφαλὴν κατεαγότος, ἀντὶ δὲ μάκτρας
πιθάκνης πλευρὰν ἐρρωγυῖαν καὶ ταύτην· ἆρά γε πολλῶν
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω ς’ αἴτιον οὖσαν;
Σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ’ ἐπεκρούσω.
Οὔκουν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν;
Ὑμεῖς γ’ οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.
Ἀλλ’ οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος οὐ μὰ Δί’, οὐδέ γε μέλλει.
Πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
τοῦ δὲ πένητος ζῆν φειδόμενον καὶ τοῖς ἔργοις προσέχοντα,
περιγίγνεσθαι δ’ αὐτῷ μηδέν, μὴ μέντοι μηδ’ ἐπιλείπειν.
Ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας,
εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ ταφῆναι.
Σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν τοῦ σπουδάζειν ἀμελήσας,
οὐ γιγνώσκων ὅτι τοῦ Πλούτου παρέχω βελτίονας ἄνδρας
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. Παρὰ τῷ μὲν γὰρ ποδαγρῶντες
καὶ γαστρώδεις καὶ παχύκνημοι καὶ πίονές εἰσιν ἀσελγῶς,
παρ’ ἐμοὶ δ’ ἰσχνοὶ καὶ σφηκώδεις καὶ τοῖς ἐχθροῖς ἀνιαροί.
Ἀπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.
Περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν κἀναδιδάξω
ὅτι κοσμιότης οἰκεῖ μετ’ ἐμοῦ, τοῦ Πλούτου δ’ ἐστὶν ὑβρίζειν.
Πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν καὶ τοὺς τοίχους διορύττειν.
[Νὴ τὸν Δί’, εἰ δεῖ λαθεῖν αὐτόν, πῶς οὐχὶ κόσμιόν ἐστιν;]
Σκέψαι τοίνυν ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας, ὡς ὁπόταν μὲν
ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι,
πλουτήσαντες δ’ ἀπὸ τῶν κοινῶν παραχρῆμ’ ἄδικοι γεγένηνται,
ἐπιβουλεύουσί τε τῷ πλήθει καὶ τῷ δήμῳ πολεμοῦσιν.
Ἀλλ’ οὐ ψεύδει τούτων γ’ οὐδέν, καίπερ σφόδρα βάσκανος οὖσα.
Ἀτὰρ οὐχ ἧττόν γ’ οὐδὲν κλαύσει, —μηδὲν ταύτῃ γε κομήσῃς, —
ὁτιὴ ζητεῖς τοῦτ’ ἀναπείθειν ἡμᾶς, ὡς ἔστιν ἄμεινον
πενία πλούτου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ σύ γ’ ἐλέγξαι μ’ οὔπω δύνασαι περὶ τούτου,
575 ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις.
575 Καὶ πῶς φεύγουσί ς’ ἅπαντες;
unit_399.1 Ὅτι βελτίους αὐτοὺς ποιῶ. Σκέψασθαι δ’ ἔστι μάλιστα
unit_399.2 ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι φρονοῦντας ἄριστα
unit_399.3 αὐτοῖς. Οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ’ ἐστὶ δίκαιον.
unit_400 Τὸν Δία φήσεις ἆρ’ οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον·
580 κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει.
580 Ταύτην δ’ ἡμῖν ἀποπέμπει.
unit_403.1 Ἀλλ’, ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω,
unit_403.2 ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ’ ἤδη φανερῶς σε διδάξω.
unit_403.3 Εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα
unit_403.4 ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι’ ἔτους πέμπτου ξυναγείρει,
585.1 ἀνεκήρυττεν τῶν ἀσκητῶν τοὺς νικῶντας στεφανώσας
585.2 κοτίνου στεφάνῳ; Καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.
unit_405.1 Οὔκουν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος;
unit_405.2 Φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,
unit_405.3 λήροις ἀναδῶν τοὺς νικῶντας τὸν πλοῦτον ἐᾷ παρ’ ἑαυτῷ.
590.1 Πολὺ τῆς πενίας πρᾶγμ’ αἴσχιον ζητεῖς αὐτῷ περιάψαι,
590.2 εἰ πλούσιος ὢν ἀνελεύθερός ἐσθ’ οὑτωσὶ καὶ φιλοκερδής.
unit_407 Ἀλλὰ σέ 〈γ’〉 ὁ Ζεὺς ἐξολέσειεν κοτίνου στεφάνῳ στεφανώσας.
unit_408.1 Τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ’ ἔστ’ ἀγάθ’ ὑμῖν
unit_408.2 διὰ τὴν πενίαν.
594 Παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι,
595.1 εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. Φησὶ γὰρ αὕτη
595.2 τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν’ ἀποπέμπειν,
595.3 τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.
595.4 Ἀλλὰ φθείρου καὶ μὴ γρύξῃς
595.5 ἔτι μηδ’ ὁτιοῦν.
unit_411 Οὐ γὰρ πείσεις, οὐδ’ ἢν πείσῃς.
unit_412 Ὦ πόλις Ἄργους, κλύεθ’ οἷα λέγει.
unit_413 Παύσωνα κάλει τὸν ξύσσιτον.
unit_414 Τί πάθω τλήμων;
unit_415 Ἔρρ’ ἐς κόρακας θᾶττον ἀφ’ ἡμῶν.
605 Εἶμι δὲ ποῖ γῆς;
unit_417 Εἰς τὸν κύφων’· ἀλλ’ οὐ μέλλειν
unit_418 χρῆν ς’, ἀλλ’ ἀνύειν.
unit_419.1 Ἦ μὴν ὑμεῖς γ’ ἔτι μ’ ἐνταυθοῖ
unit_419.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταπέμψεσθον.
610.1 Τότε νοστήσεις· νῦν δὲ φθείρου.
610.2 Κρεῖττον γάρ μοι πλουτεῖν ἐστιν,
610.3 σὲ δ’ ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.
unit_421.1 Νὴ Δί’ ἐγὼ γοῦν ἐθέλω πλουτῶν
unit_421.2 εὐωχεῖσθαι μετὰ τῶν παίδων
615.1 τῆς τε γυναικός, καὶ λουσάμενος
615.2 λιπαρὸς χωρῶν ἐκ βαλανείου
615.3 τῶν χειροτεχνῶν
615.4 καὶ τῆς πενίας καταπαρδεῖν.
unit_423 Αὕτη μὲν ἡμῖν ἡπίτριπτος οἴχεται.
620.1 Ἐγὼ δὲ καὶ σύ γ’ ὡς τάχιστα τὸν θεὸν
620.2 ἐγκατακλινοῦντ’ ἄγωμεν εἰς Ἀσκληπιοῦ.
unit_425.1 Καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
unit_425.2 ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποεῖν.
unit_426 Παῖ Καρίων, τὰ στρώματ’ ἐκφέρειν ἐχρῆν
625.1 αὐτόν τ’ ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
625.2 καὶ τἄλλ’ ὅς’ ἐστὶν ἔνδον εὐτρεπισμένα.
unit_428 〈ΧΟΡΟΥ〉
627.1 Ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι
627.2 γέροντες ἄνδρες ἐπ’ ὀλιγίστοις ἀλφίτοις,
627.3 ὡς εὐτυχεῖθ’, ὡς μακαρίως πεπράγατε,
630 ἄλλοι θ’ ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.
unit_431.1 Τί δ’ ἐστίν, ὦ βέλτιστε, τῶν σαυτοῦ φίλων;
unit_431.2 Φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.
unit_432.1 Ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,
unit_432.2 μᾶλλον δ’ ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ
635.1 ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
635.2 Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.
unit_434 Λέγεις μοι χαράν, λέγεις μοι βοάν.
unit_435 Πάρεστι χαίρειν, ἤν τε βούλησθ’ ἤν τε μή.
unit_436 Ἀναβοάσομαι τὸν εὔπαιδα καὶ
640 μέγα βροτοῖσι φέγγος Ἀσκληπιόν.
641.1 Τίς ἡ βοή ποτ’ ἐστίν; Ἆρ’ ἀγγέλλεται
641.2 χρηστόν τι; Τοῦτο γὰρ ποθοῦς’ ἐγὼ πάλαι
641.3 ἔνδον κάθημαι περιμένουσα τουτονί.
unit_439 Ταχέως, ταχέως φέρ’ οἶνον, ὦ δέσποιν’, ἵνα
645.1 καὐτὴ πίῃς, —φιλεῖς δὲ δρῶς’ αὐτὸ σφόδρα, —
645.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
unit_441 Καὶ ποῦ 'στιν;
647 Ἐν τοῖς λεγομένοις· εἴσει τάχα.
unit_443 Πέραινε τοίνυν ὅ τι λέγεις ἀνύσας ποτέ.
unit_444 Ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
unit_445 ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
unit_446 Μὴ δῆτ' ἔμοιγ' εἰς τὴν κεφαλήν.
651.1 Μὴ τἀγαθὰ
651.2 ἃ νῦν γεγένηται;
652 Μὴ μὲν οὖν τὰ πράγματα.
unit_449 Ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεὸν
unit_450 ἄγοντες ἄνδρα τότε μὲν ἀθλιώτατον,
655.1 νῦν δ' εἴ τιν' ἄλλον μακάριον κεὐδαίμονα,
655.2 πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν,
655.3 ἔπειτ' ἐλοῦμεν.
657.1 Νὴ Δί' εὐδαίμων ἄρ' ἦν
657.2 ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.
unit_453 Ἔπειτα πρὸς τὸ τέμενος ᾖμεν τοῦ θεοῦ.
660.1 Ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
660.2 καθωσιώθη, πελανὸς Ἡφαίστου φλογί,
660.3 κατεκλίναμεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν·
660.4 ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.
unit_455 Ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;
665.1 Εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός,
665.2 κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντικεν·
665.3 ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
665.4 ἔχοντες. Ὡς δὲ τοὺς λύχνους ἀποσβέσας
665.5 ἡμῖν παρήγγειλεν καθεύδειν τοῦ θεοῦ
670.1 ὁ πρόπολος. εἰπών, ἤν τις αἴσθηται ψόφου,
670.2 σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
670.3 Κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην, ἀλλά με
670.4 ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη
670.5 ὀλίγον ἄπωθεν τῆς κεφαλῆς του γρᾳδίου,
675.1 ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.
675.2 Ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα
675.3 τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας
675.4 ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. Μετὰ τοῦτο δὲ
unit_459 περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
680.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴ που πόπανον εἴη τι καταλελειμμένον·
680.2 ἔπειτα ταῦθ’ ἥγιζεν εἰς σάκταν τινά.
680.3 Κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος
680.4 ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.
unit_461 Ταλάντατ’ ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;
685.1 Νὴ τοὺς θεοὺς ἔγωγε, μὴ φθάσειέ με
685.2 ἐπὶ τὴν χύτραν ἐλθὼν ἔχων τὰ στέμματα.
685.3 Ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
685.4 Τὸ γρᾴδιον δ’ ὡς ᾔσθετο δή μου τὸν ψόφον,
685.5 τὴν χεῖρ’ ὑπῆρε· κᾆτα συρίξας ἐγὼ
690.1 ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις.
690.2 Ἡ δ’ εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασεν,
690.3 κατέκειτό θ’ αὑτὴν ἐντυλίξασ’ ἡσυχῇ
690.4 ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
690.5 Κἀγὼ τότ’ ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων·
695 ἔπειτ’ ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.
unit_465 Ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν;
696.1 Οὐδέπω.
696.2 Μετὰ τοῦτο δ’ ἤδη καὶ γέλοιον δῆτά τι
696.3 ἐπόησα. Προσιόντος γὰρ αὐτοῦ μέγα πάνυ
696.4 ἀπέπαρδον· ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.
unit_467 Ἦ πού σε διὰ τοῦτ’ εὐθὺς ἐβδελύττετο.
unit_468 Οὔκ, ἀλλ’ Ἰασὼ μέν τις ἀκολουθοῦς’ ἅμα
unit_469.1 ὑπηρυθρίασε χἠ Πανάκει’ ἀπεστράφη
unit_469.2 τὴν ῥῖν’ ἐπιλαβοῦς’· οὐ λιβανωτὸν γὰρ βδέω.
unit_470 Αὐτὸς δ’ ἐκεῖνος;
704 Οὐ μὰ Δί’ οὐδ’ ἐφρόντισεν.
705 Λέγεις ἄγροικον ἄρα σύ γ’ εἶναι τὸν θεόν;
unit_473 Μὰ Δί’ οὐκ ἔγωγ’, ἀλλὰ σκατοφάγον.
706 Αἳ τάλαν.
unit_475.1 Μετὰ ταῦτ’ ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην
unit_475.2 δείσας, ἐκεῖνος δ’ ἐν κύκλῳ τὰ νοσήματα
unit_475.3 σκοπῶν περιῄει πάντα κοσμίως πάνυ.
710.1 Ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον
710.2 παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.
unit_477 Λίθινον;
712 Μὰ Δί’ οὐ δῆτ’, οὐχὶ τό γε κιβώτιον.
unit_479.1 Σὺ δὲ πῶς ἑώρας, ὦ κάκιστ’ ἀπολούμενε,
unit_479.2

ὃς ἐγκεκαλύφθαι φῄς;
Διὰ τοῦ τριβωνίου·
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας μὰ τὸν Δία.
Πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
κατάπλαστον ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
σκορόδων κεφαλὰς τρεῖς Τηνίων. Ἔπειτ᾽ ἔφλα
ἐν τῇ θυείᾳ συμπαραμειγνύων ὀπὸν
καὶ σχῖνον· εἶτ᾽ ὄξει διέμενος Σφηττίῳ
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ᾽ ἐκστρέψας, ἵνα
ὀδυνῷτο μᾶλλον. Ὁ δὲ κεκραγὼς καὶ βοῶν
ἔφευγ᾽ ἀνᾴξας· ὁ δὲ θεὸς γελάσας ἔφη·
«Ἐνταῦθά νυν κάθησο καταπεπλασμένος,
ἵν᾽ ἐπομνύμενον παύσω σε τὰς ἐκκλησίας.»
Ὡς φιλόπολίς τίς ἐσθ᾽ ὁ δαίμων καὶ σοφός.
Μετὰ τοῦτο τῷ Πλούτῳ ᾽τι παρεκαθέζετο,
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο,
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν
τὰ βλέφαρα περιέψησεν. Ἡ Πανάκεια δὲ
κατεπέτας᾽ αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ᾽ ὁ θεὸς ἐπόππυσεν.
Ἐξῃξάτην οὖν δύο δράκοντ᾽ ἐκ τοῦ νεὼ
ὑπερφυεῖ τὸ μέγεθος.
Ὦ φίλοι θεοί.
Τούτω δ᾽ ὑπὸ τὴν φοινικίδ᾽ ὑποδύνθ᾽ ἡσυχῇ
τὰ βλέφαρα περιέλειχον, ὥς γέ μοὐδόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα,
ὁ Πλοῦτος, ὦ δέσποιν᾽, ἀνειστήκει βλέπων·
ἐγὼ δὲ τὼ χεῖρ᾽ ἀνεκρότης᾽ ὑφ᾽ ἡδονῆς
τὸν δεσπότην τ᾽ ἤγειρον. Ὁ θεὸς δ᾽ εὐθέως
ἠφάνισεν αὐτὸν οἵ τ᾽ ὄφεις εἰς τὸν νεών.
Οἱ δ᾽ ἐγκατακείμενοι παρ᾽ αὐτῷ πῶς δοκεῖς
τὸν Πλοῦτον ἠσπάζοντο καὶ τὴν νύχθ᾽ ὅλην
ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
Ἐγὼ δ᾽ ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα,
ὅτι βλέπειν ἐπόησε τὸν Πλοῦτον ταχύ,
τὸν δὲ Νεοκλείδην μᾶλλον ἐπόησεν τυφλόν.
Ὅσην ἔχεις τὴν δύναμιν, ὦναξ δέσποτα.
Ἀτὰρ φράσον μοι, ποῦ ᾽σθ᾽ ὁ Πλοῦτος;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔρχεται.
unit_495.1 Ἀλλ’ ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
unit_495.2 Οἱ γὰρ δίκαιοι πρότερον ὄντες καὶ βίον
unit_495.3 ἔχοντες ὀλίγον αὐτὸν ἠσπάζοντο καὶ
unit_495.4 ἐδεξιοῦνθ’ ἅπαντες ὑπὸ τῆς ἡδονῆς·
unit_495.5 ὅσοι δ’ ἐπλούτουν οὐσίαν τ’ εἶχον συχνὴν
755.1 οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
755.2 ὀφρῦς ξυνῆγον ἐσκυθρώπαζόν θ’ ἅμα.
755.3 Οἱ δ’ ἠκολούθουν κατόπιν ἐστεφανωμένοι
755.4 γελῶντες, εὐφημοῦντες· ἐκτυπεῖτο δὲ
755.5 ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
760.1 Ἀλλ’ εἶ’, ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
760.2 ὀρχεῖσθε καὶ σκιρτᾶτε καὶ χορεύετε·
760.3 οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ,
760.4 ὡς ἄλφιτ’ οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
unit_498 Νὴ τὴν Ἑκάτην, κἀγὼ δ’ ἀναδῆσαι βούλομαι
765.1 εὐαγγέλιά σε κριβανιτῶν ὁρμαθῷ
765.2 τοιαῦτ’ ἀπαγγείλαντα.
766.1 Μή νυν μέλλ’ ἔτι,
766.2 ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
unit_501.1 Φέρε νυν, ἰοῦς’ εἴσω κομίσω καταχύσματα
unit_501.2 ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.
770 Ἐγὼ δ’ ἀπαντῆσαί γ’ ἐκείνοις βούλομαι.
unit_503 ΧΟΡΟΥ
771.1 Καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον,
771.2 ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον
771.3 χώραν τε πᾶσαν Κέκροπος ἥ μ’ ἐδέξατο.
771.4 Αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ συμφοράς,
775.1 οἵοις ἄρ’ ἀνθρώποις ξυνὼν ἐλάνθανον,
775.2 τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
775.3 ἔφευγον, εἰδὼς οὐδέν. Ὦ τλήμων ἐγώ,
775.4 ὡς οὔτ’ ἐκεῖν’ ἄρ’ οὔτε ταῦτ’ ὀρθῶς ἔδρων.
775.5 Ἀλλ’ αὖ τὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ
780.1 δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις ὅτι
780.2 ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐπεδίδουν.
unit_507.1 Βάλλ’ ἐς κόρακας. Ὡς χαλεπόν εἰσιν οἱ φίλοι
unit_507.2 οἱ φαινόμενοι παραχρῆμ’ ὅταν πράττῃ τις εὖ.
unit_507.3 Νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,
785.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα.
785.2 Ἐμὲ γὰρ τίς οὐ προσεῖπε; Ποῖος οὐκ ὄχλος
785.3 περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;
unit_509.1 Ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σύ, χαίρετον.
unit_509.2 Φέρε νυν, —νόμος γάρ ἐστι, —τὰ καταχύσματα
790 ταυτὶ καταχέω σου λαβοῦσα.
790.1 Μηδαμῶς.
790.2 Ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
790.3 πρώτιστ' ἀναβλέψαντος οὐδὲν ἐκφέρειν
790.4 πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.
unit_512 Εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα;
795.1 Ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος.
795.2 Ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
795.3 Οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ
795.4 ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
795.5 προβαλόντ', ἐπὶ τούτοις εἶτ' ἀναγκάζειν γελᾶν.
unit_514.1 Εὖ πάνυ λέγεις· ὡς Δεξίνικός γ' οὑτοσὶ
unit_514.2 ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.
unit_515 ΧΟΡΟΥ
802.1 Ὡς ἡδὺ πράττειν, ὦνδρές, ἐστ' εὐδαιμόνως,
802.2 καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
802.3 Ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
805a ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
805b Οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμα δή.
806.1 Ἡ μὲν σιπύη μεστή 'στι λευκῶν ἀλφίτων,
806.2 οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου.
806.3 Ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
806.4 τὰ σκευάρια πλήρη 'στίν, ὥστε θαυμάσαι.
810.1 Τὸ φρέαρ δ' ἐλαίου μεστόν· αἱ δὲ λήκυθοι
810.2 μύρου γέμουσι, τὸ δ' ὑπερῷον ἰσχάδων.
810.3 Ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
810.4 χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς
810.5 τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.
815 Ὁ δ' ἰπνὸς γέγον' ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
unit_522.1 Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
unit_522.2 χρυσοῖς· ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
unit_522.3 ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
unit_522.4 Καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
820.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος,
820.2 ἐμὲ δ’ ἐξέπεμψεν ὁ καπνός· οὐχ οἷός τε γὰρ
820.3 ἔνδον μένειν ἦν· ἔδακνε γὰρ τὰ βλέφαρά μου.
823.1 Ἕπου μετ’ ἐμοῦ, παιδάριον, ἵνα πρὸς τὸν θεὸν
823.2 ἴωμεν.
824 Ἔα, τίς ἐσθ’ ὁ προσιὼν οὑτοσί;
825 Ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ’ εὐτυχής.
unit_527 Δῆλον ὅτι τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.
unit_528 Μάλιστ’.
827 Ἔπειτα τοῦ δέει;
827.1 Πρὸς τὸν θεὸν
827.2 ἥκω. μεγάλων γάρ μοὐστὶν ἀγαθῶν αἴτιος.
827.3 Ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
830.1 λαβὼν ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
830.2 εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
unit_532 Ἦ πού σε ταχέως ἐπέλιπεν τὰ χρήματα.
unit_533 Κομιδῇ μὲν οὖν.
833 Οὐκοῦν μετὰ ταῦτ’ ἦσθ’ ἄθλιος.
unit_535 Κομιδῇ μὲν οὖν. Κἀγὼ μὲν ᾤμην οὓς τέως
835.1 εὐεργέτησα δεομένους ἕξειν φίλους
835.2 ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
835.3 οἱ δ’ ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ’ ἔτι.
unit_537 Καὶ κατεγέλων γ’ εὖ οἶδ’ ὅτι.
838.1 Κομιδῇ μὲν οὖν·
838.2 αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ’ ἀπώλεσεν.
840.1 Ἀλλ’ οὐχὶ νῦν. Ἀνθ’ ὧν ἐγὼ πρὸς τὸν θεὸν
840.2 προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
unit_540.1 Τὸ τριβώνιον δὲ τί δύναται, πρὸς τῶν θεῶν,
unit_540.2 ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
unit_541 Καὶ τοῦτ’ ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.
845 Μῶν οὖν ἐμυήθης δῆτ’ ἐν αὐτῷ τὰ μεγάλα;
unit_543 Οὔκ, ἀλλ’ ἐνερρίγωσ’ ἔτη τριακαίδεκα.
unit_544 Τὰ δ’ ἐμβάδια;
847 Καὶ ταῦτα συνεχειμάζετο.
unit_546 Καὶ ταῦτ’ ἀναθήσων ἔφερες οὖν;
848 Νὴ τὸν Δία.
unit_548 Χαρίεντά γ’ ἥκεις δῶρα τῷ θεῷ φέρων.
unit_549.1 Οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος,
unit_549.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τρισκακοδαίμων καὶ τετράκις καὶ πεντάκις
unit_549.3 καὶ δωδεκάκις καὶ μυριάκις· ἰοὺ ἰού.
unit_549.4 Οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.
unit_550 Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ φίλοι,
855 τί ποτ᾽ ἐστὶν ὅ τι πέπονθεν ἄνθρωπος κακόν;
unit_552.1 Οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
unit_552.2 ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
unit_552.3 διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
unit_552.4 πάλιν αὖθις, ἤνπερ μὴ ᾽πιλίπωσιν αἱ δίκαι;
860.1 Ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ.
860.2 Προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ,
860.3 ἔοικε δ᾽ εἶναι τοῦ πονηροῦ κόμματος.
unit_554 Νὴ Δία καλῶς τοίνυν ποιῶν ἀπόλλυται.
unit_555 Ποῦ, ποῦ ᾽σθ᾽ ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
865.1 ὑποσχόμενος οὗτος ποήσειν εὐθέως,
865.2 εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; Ὁ δὲ
865.3 πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
unit_557 Καὶ τίνα δέδρακε δῆτα τοῦτ᾽;
868 Ἐμὲ τουτονί.
unit_559 Ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;
870.1 Μὰ Δί᾽, οὐ μὲν οὖν ἔσθ᾽ ὑγιὲς ὑμῶν οὐδενός,
870.2 κοὐκ ἔσθ᾽ ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
unit_561.1 Ὡς σοβαρός, ὦ Δάματερ, εἰσελήλυθεν
unit_561.2 ὁ συκοφάντης. Δῆλον ὅτι βουλιμιᾷ.
unit_562 Σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις·
875.1 ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ ς᾽ ἐκεῖ στρεβλούμενον
875.2 εἰπεῖν ἃ πεπανούργηκας.
876 Οἰμώξἄρα σύ.
unit_565.1 Νὴ τὸν Δία τὸν σωτῆρα, πολλοῦ γ᾽ ἄξιος
unit_565.2 ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς οὗτος, εἰ
unit_565.3 τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
880.1 Οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς;
880.2 Ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
880.3 Ἐχθὲς δ᾽ ἔχοντ᾽ εἶδόν ς᾽ ἐγὼ τριβώνιον.
unit_567.1 Οὐδὲν προτιμῶ σου· φορῶ γὰρ πριάμενος
unit_567.2 τὸν δακτύλιον τονδὶ παρ᾽ Εὐδάμου δραχμῆς.
885 Ἀλλ᾽ οὐδέν᾽ ἔστι συκοφάντου δήγματος.
unit_569.1 Ἆρ᾽ οὐχ ὕβρις ταῦτ᾽ ἐστὶ πολλή; Σκώπτετον,
unit_569.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅ τι δὲ ποεῖτον ἐνθάδ’ οὐκ εἰρήκατον.
unit_569.3 Οὐκ ἐπ’ ἀγαθῷ γὰρ ἐνθάδ’ ἐστὸν οὐδενί.
unit_570 Μὰ τὸν Δί’ οὔκουν τῷ γε σῷ, σάφ’ ἴσθ’ ὅτι.
890 Ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον.
unit_572.1 Ὡς δὴ ’π’ ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
unit_572.2 διαρραγείης—
892 μηδενός γ’ ἐμπλήμενος.
unit_574.1 Ἀρνεῖσθον; Ἔνδον ἐστίν, ὦ μιαρωτάτω,
unit_574.2 πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
895 Υυ υυ υυ υυ υυ υυ.
unit_576 Κακόδαιμον, ὀσφραίνει τι;
896 Τοῦ ψύχους γ’ ἴσως.
unit_578 [ἐπεὶ τοιοῦτόν γ’ ἀμπέχεται τριβώνιον.]
unit_579.1 Ταῦτ’ οὖν ἀνασχέτ’ ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
unit_579.2 τούτους ὑβρίζειν εἰς ἔμ’; Οἴμ’ ὡς ἄχθομαι
unit_580 ὅτι χρηστὸς ὢν καὶ φιλόπολις πάσχω κακῶς.
unit_581 Σὺ φιλόπολις καὶ χρηστός;
901 Ὡς οὐδείς γ’ ἀνήρ.
unit_583 Καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι.
902 Τὸ τί;
unit_585 Γεωργὸς εἶ;
903 Μελαγχολᾶν μ’ οὕτως οἴει;
unit_587 Ἀλλ’ ἔμπορος;
904 Ναί, σκήπτομαί γ’, ὅταν τύχω.
905 Τί δαί; τέχνην τιν’ ἔμαθες;
905 Οὐ μὰ τὸν Δία.
unit_591 Πῶς οὖν διέζης ἢ πόθεν μηδὲν ποιῶν;
unit_592.1 Τῶν τῆς πόλεώς εἰμ’ ἐπιμελητὴς πραγμάτων
unit_592.2 καὶ τῶν ἰδίων πάντων.
908 Σύ; τί μαθών;
908 Βούλομαι.
unit_595 Πῶς οὖν ἂν εἴης χρηστός, ὦ τοιχωρύχε,
910 εἴ σοι προσῆκον μηδὲν εἶτ’ ἀπεχθάνει;
unit_597.1 Οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
unit_597.2 εὐεργετεῖν, ὦ κέπφε, καθ’ ὅσον ἂν σθένω;
unit_598 Εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
unit_599 Τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
915 καὶ μὴ ’πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ.
unit_601.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
unit_601.2 ἄρχειν καθίστησιν;
917 Κατηγορεῖ δὲ τίς;
unit_603 Ὁ βουλόμενος.
918.1 Οὐκοῦν ἐκεῖνός εἰμ’ ἐγώ.
918.2 Ὥστ’ εἰς ἔμ’ ἥκει τῆς πόλεως τὰ πράγματα.
920.1 Νὴ Δία, πονηρόν γ’ ἆρα προστάτην ἔχει.
920.2 Ἐκεῖνο δ’ οὐ βούλοι’ ἄν, ἡσυχίαν ἔχων
920.3 ζῆν ἀργός;
922.1 Ἀλλὰ προβατίου βίον λέγεις,
922.2 εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
unit_607 Οὐδ’ ἂν μεταμάθοις;
924 Οὐδ’ ἂν εἰ δοίης γέ μοι
925 τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον.
unit_610 Κατάθου ταχέως θοἰμάτιον.
926 Οὗτος, σοὶ λέγει.
unit_612 Ἔπειθ’ ὑπόλυσαι.
927 Πάντα ταῦτα σοὶ λέγει.
unit_614.1 Καὶ μὴν προσελθέτω πρὸς ἔμ’ ὑμῶν ἐνθαδὶ
unit_614.2 ὁ βουλόμενος.
929 Οὐκοῦν ἐκεῖνός εἰμ’ ἐγώ.
930 Οἴμοι τάλας, ἀποδύομαι μεθ’ ἡμέραν.
unit_617 Σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν;
unit_618 Ὁρᾷς ἃ ποιεῖ; Ταῦτ’ ἐγὼ μαρτύρομαι.
unit_619 Ἀλλ’ οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
unit_620 Οἴμοι, περιείλημμαι μόνος.
934 Νυνὶ βοᾷς;
935 Οἴμοι μάλ’ αὖθις.
935.1 Δὸς σύ μοι τὸ τριβώνιον,
935.2 ἵν’ ἀμφιέσω τὸν συκοφάντην τουτονί.
unit_624 Μὴ δῆθ’· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
unit_625.1 Ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται
unit_625.2 ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
940 Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
unit_627 Τοῖς δ’ ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.
unit_628.1 Καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
unit_628.2 ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτῳί.
unit_629 Ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
945.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑμῶν· ἐὰν δὲ σύζυγον λάβω τινὰ
945.2 κἂν σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
945.3 ἐγὼ ποήσω τήμερον δοῦναι δίκην,
945.4 ὁτιὴ καταλύει περιφανῶς εἷς ὢν μόνος
945.5 τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν
unit_631 τὴν τῶν πολιτῶν οὔτε τὴν ἐκκλησίαν.
unit_632.1 Καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
unit_632.2 ἔχων βαδίζεις, είς τὸ βαλανεῖον τρέχε·
unit_632.3 ἔπειτ’ ἐκεῖ κορυφαῖος ἑστηκὼς θέρου.
unit_632.4 Κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
955.1 Ἀλλ’ ὁ βαλανεὺς ἕλξει θύραζ’ αὐτὸν λαβὼν
955.2 τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν γνώσεται
955.3 ὅτι ἔστ’ ἐκείνου τοῦ πονηροῦ κόμματος.
955.4 Νὼ δ’ εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.
unit_634 〈ΧΟΡΟΥ〉
959 Ἆρ’, ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
960.1 ἀφίγμεθ’ ὄντως τοῦ νέου τούτου θεοῦ,
960.2 ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν;
unit_637.1 Ἀλλ’ ἴσθ’ ἐπ’ αὐτὰς τὰς θύρας ἀφιγμένη,
unit_637.2 ὦ μειρακίσκη· πυνθάνει γὰρ ὡρικῶς.
unit_638 Φέρε νυν, ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά.
965.1 Μὴ δῆτ’· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
965.2 Ἀλλ’ ὅ τι μάλιστ’ ἐλήλυθας λέγειν ς’ ἐχρῆν.
unit_640.1 Πέπονθα δεινὰ καὶ παράνομ’, ὦ φίλτατε·
unit_640.2 ἀφ’ οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν,
unit_640.3 ἀβίωτον εἶναί μοι πεπόηκε τὸν βίον.
970.1 Τί δ’ ἐστίν; ἦ που καὶ σὺ συκοφάντρια
970.2 ἐν ταῖς γυναιξὶν ἦσθα;
971 Μὰ Δί’ ἐγὼ μὲν οὔ.
unit_643 Ἀλλ’ οὐ λαχοῦς’ ἔπινες ἐν τῷ γράμματι;
unit_644 Σκώπτεις· ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.
unit_645 Οὔκουν ἐρεῖς ἁνύσασα τὸν κνισμὸν τίνα;
975.1 Ἄκουέ νυν. Ἦν μοί τι μειράκιον φίλον,
975.2 πενιχρὸν μέν, ἄλλως δ’ εὐπρόσωπον καὶ καλὸν
975.3 καὶ χρηστόν· εἰ γάρ του δεηθείην ἐγώ,
975.4 ἅπαντ’ ἐποίει κοσμίως μοι καὶ καλῶς·
975.5 ἐγὼ δ’ ἐκείνῳ γ’ αὖ τὰ πάνθ’ ὑπηρέτουν.
980 Τί δ’ ἦν ὅ τι σου μάλιστ’ ἐδεῖθ’ ἑκάστοτε;
unit_648

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ’ ᾐσχύνετο.
unit_649.1 Ἀλλ’ ἀργυρίου δραχμὰς ἂν ᾔτησ’ εἴκοσιν
unit_649.2 εἰς ἱμάτιον, ὀκτὼ δ’ ἂν εἰς ὑποδήματα·
unit_649.3 καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
985.1 ἐκέλευσεν ἂν τῇ μητρί θ’ ἱματίδιον·
985.2 πυρῶν τ’ ἂν ἐδεήθη μεδίμνων τεττάρων.
unit_651.1 Οὐ πολλὰ τοίνυν, μὰ τὸν Ἀπόλλω, ταῦτά γε
unit_651.2 εἴρηκας· ἀλλὰ δῆλον ὅτι ς’ ᾐσχύνετο.
unit_652 Καὶ ταῦτα τοίνυν οὐχ ἕνεκα μισητίας
990.1 αἰτεῖν μ’ ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα,
990.2 ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.
unit_654 Λέγεις ἐρῶντ’ ἄνθρωπον ἐκνομιώτατα.
unit_655.1 Ἀλλ’ οὐχὶ νῦν ὁ βδελυρὸς ἔτι τὸν νοῦν ἔχει
unit_655.2 τὸν αὐτόν, ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
995.1 Ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ
995.2 καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
995.3 ἐπόντα πεμψάσης ὑπειπούσης θ’ ὅτι
995.4 εἰς ἑσπέραν ἥξοιμι—
998 Τί ἔδρας’; εἰπέ μοι.
unit_658 ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί,
unit_659.1 ἐφ’ ᾧτ’ ἐκεῖσε μηδέποτέ μ’ ἐλθεῖν ἔτι,
unit_659.2 καὶ πρὸς ἐπὶ τούτοις εἶπεν ἀποπέμπων ὅτι
unit_659.3 «πάλαι ποτ’ ἦσαν ἄλκιμοι Μιλήσιοι.»
unit_660.1 Δῆλον ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν.
unit_660.2 Ἔπειτα πλουτῶν οὐκέθ’ ἥδεται φακῇ·
1005 πρὸ τοῦ δ’ ὑπὸ τῆς πενίας ἅπαντ’ ἐπήσθιεν.
unit_662.1 Καὶ μὴν πρὸ τοῦ γ’ ὁσημέραι, νὴ τὼ θεώ,
unit_662.2 ἐπὶ τὴν θύραν ἐβάδιζεν ἀεὶ τὴν ἐμήν.
unit_663 Ἐπ’ ἐκφοράν;
1008.1 Μὰ Δί’, ἀλλὰ τῆς φωνῆς μόνον
1008.2 ἐρῶν ἀκοῦσαι.
1009 Τοῦ λαβεῖν μὲν οὖν χάριν.
1010.1 Καί, νὴ Δί’, εἰ λυπουμένην γ’ αἴσθοιτό με,
1010.2 νηττάριον ἂν καὶ φάβιον ὑπεκορίζετο.
unit_667 Ἔπειτ’ ἴσως ᾔτει ς’ ἂν εἰς ὑποδήματα.
unit_668.1 Μυστηρίοις δὲ τοῖς μεγάλοισι, νὴ Δία,
unit_668.2 ἐπὶ τῆς ἁμάξης ὅτι προσέβλεψέν μέ τις,
1015.1 ἐτυπτόμην διὰ τοῦθ’ ὅλην τὴν ἡμέραν.
1015.2

Οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
unit_670 Μόνος γὰρ ἥδεθ’, ὡς ἔοικεν, ἐσθίων.
unit_671 Καὶ τάς γε χεῖρας παγκάλας ἔχειν μ’ ἔφη, —
unit_672 ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.
1020 ὄζειν τε τῆς χροιᾶς ἔφασκεν ἡδύ μου, —
unit_674 εἰ Θάσιον ἐνέχεις, εἰκότως γε, νὴ Δία.
unit_675 Τὸ βλέμμα θ’ ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
unit_676.1 Οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ’ ἠπίστατο
unit_676.2 γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
1025.1 Ταῦτ’ οὖν ὁ θεός, ὦ φίλ’ ἄνερ, οὐκ ὀρθῶς ποεῖ,
1025.2 φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
unit_678 Τί γὰρ ποήσῃ; Φράζε, καὶ πεπράξεται.
unit_679.1 Ἀναγκάσαι δίκαιόν ἐστι, νὴ Δία,
unit_679.2 τὸν εὖ παθόνθ’ ὑπ’ ἐμοῦ πάλιν 〈μ’〉 ἀντ’ εὖ ποεῖν.
1030 Ἢ μηδ’ ὁτιοῦν 〈μ’〉 ἀγαθὸν δίκαιόν ἐστ’ ἔχειν;
unit_681 Οὔκουν καθ’ ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;
unit_682 Ἀλλ’ οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
unit_683 Ὀρθῶς γε· νῦν δέ ς’ οὐκέτι ζῆν οἴεται.
unit_684 Ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ’, ὦ φίλτατε.
1035 Οὔκ, ἀλλὰ κατασέσηπας, ὥς γ’ ἐμοὶ δοκεῖς.
unit_686 Διὰ δακτυλίου μὲν οὖν ἐμέ γ’ ἂν διελκύσαις.
unit_687 Εἰ τυγχάνοι γ’ ὁ δακτύλιος ὢν τηλία.
unit_688.1 Καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
unit_688.2 οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω·
1040 ἔοικε δ’ ἐπὶ κῶμον βαδίζειν.
1040.1 Φαίνεται·
1040.2 στεφάνους γέ τοι καὶ δᾷδ’ ἔχων πορεύεται.
1042 Ἀσπάζομαι.
1042 Τί φησιν;
1042.1 Ἀρχαία φίλη,
1042.2 πολιὰ γεγένησαι ταχύ γε, νὴ τὸν οὐρανόν.
unit_694 Τάλαιν’ ἐγὼ τῆς ὕβρεος ἧς ὑβρίζομαι.
1045 Ἔοικε διὰ πολλοῦ χρόνου ς’ ἑορακέναι.
unit_696 Ποίου χρόνου, ταλάνταθ’, ὃς παρ’ ἐμοὶ χθὲς ἦν;
unit_697.1 Τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα·
unit_697.2 μεθύων γάρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.
unit_698 Οὔκ, ἀλλ’ ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.
unit_699.1 Ὦ Ποντοπόσειδον καὶ θεοὶ πρεσβυτικοί,
unit_699.2

ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει.
unit_700 Ἆ ἆ,
1052 τὴν δᾷδα μή μοι πρόσφερ’.
1052.1 Εὖ μέντοι λέγει.
1052.2 Ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ βάλῃ,
1052.3 ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
1055 Βούλει διὰ χρόνου πρός με παῖσαι;
1055 Ποῦ, τάλαν;
unit_705 Αὐτοῦ, λαβοῦσα κάρυα.
1056 Παιδιὰν τίνα;
unit_707 Πόσους ἔχεις ὀδόντας.
1057.1 Ἀλλὰ γνώσομαι
1057.2 κἄγωγ’· ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
unit_709 Ἀπότεισον· ἕνα γὰρ γομφίον μόνον φορεῖ.
1060.1 Ταλάντατ’ ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
1060.2 πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
unit_711 Ὄναιο μέντἄν, εἴ τις ἐκπλύνειέ σε.
unit_712.1 Οὐ δῆτ’, ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει·
unit_712.2 εἰ δ’ ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
1065 ὄψει κατάδηλα τοῦ προσώπου τὰ ῥάκη.
unit_714 Γέρων ἀνὴρ ὢν οὐχ ὑγιαίνειν μοι δοκεῖς.
unit_715.1 Πειρᾷ μὲν οὖν ἴσως σε καὶ τῶν τιτθίων
unit_715.2 ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.
unit_716 Μὰ τὴν Ἀφροδίτην, οὐκ ἐμοῦ γ’, ὦ βδελυρὲ σύ.
1070.1 Μὰ τὴν Ἑκάτην, οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
1070.2 Ἀλλ’, ὦ νεανίσκ’, οὐκ ἐῶ τὴν μείρακα
1070.3 μισεῖν σε ταύτην.
1072 Ἀλλ’ ἔγωγ’ ὑπερφιλῶ.
unit_719 Καὶ μὴν κατηγορεῖ γέ σου.
1073 Τί κατηγορεῖ;
unit_721 Εἶναί ς’ ὑβριστήν φησι καὶ λέγειν ὅτι
1075 «πάλαι ποτ’ ἦσαν ἄλκιμοι Μιλήσιοι.»
unit_723 Ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι.
1076 Τὸ τί;
unit_725.1 Αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σήν· ἐπεὶ
unit_725.2 οὐκ ἄν ποτ’ ἄλλῳ τοῦτ’ ἐπέτρεπον 〈ἂν〉 ποεῖν.
unit_726 Νῦν δ’ ἄπιθι χαίρων συλλαβὼν τὴν μείρακα.
1080.1 Οἶδ’, οἶδα τὸν νοῦν· οὐκέτ’ ἀξιοῖς ἴσως
1080.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι μετ’ αὐτῆς.
1081 Ὁ δ’ ἐπιτρέψων ἐστὶ τίς;
unit_729.1 Οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ
unit_729.2 ὑπὸ μυρίων τε τῶνδε καὶ τρισχιλίων.
unit_730 Ὅμως δ’ ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
1085 πίνειν, συνεκποτέ’ ἐστί σοι καὶ τὴν τρύγα.
unit_732 Ἀλλ’ ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
unit_733.1 Οὐκοῦν τρύγοιπος ταῦτα πάντ’ ἰάσεται.
unit_733.2 Ἀλλ’ εἴσιθ’ εἴσω.
1088.1 Τῷ θεῷ γοῦν βούλομαι
1088.2 ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ’ οὓς ἔχω.
1090 Ἐγὼ δέ γ’ αὐτῷ καὶ φράσαι τι βούλομαι.
unit_736 Ἐγὼ δέ γ’ οὐκ εἴσειμι.
1091.1 Θάρρει, μὴ φοβοῦ·
1091.2 οὐ γὰρ βιάσεται.
1092.1 Πάνυ καλῶς τοίνυν λέγεις.
1092.2 Ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.
unit_739 Βάδιζ’· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
1095 Ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γρᾴδιον
unit_741 ὥσπερ λεπὰς τῷ μειρακίῳ προσείχετο.
unit_742 〈ΧΟΡΟΥ〉
1097.1 Τίς ἔσθ’ ὁ κόπτων τὴν θύραν; Τουτὶ τί ἦν;
1097.2 Οὐδείς, ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
1097.3 φθεγγόμενον ἄλλως κλαυσιᾷ.
1099 Σέ τοι λέγω,
unit_745 ὁ Καρίων, ἀνάμεινον.
unit_746.1 Οὗτος, εἰπέ μοι,
unit_746.2 σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
unit_747.1 Μὰ Δί’, ἀλλ’ ἔμελλον· εἶτ’ ἀνέῳξάς με φθάσας.
unit_747.2 Ἀλλ’ ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ,
unit_747.3 ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία,
1105.1 ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα,
1105.2 ἔπειτα σαυτόν, εἶτα τὴν ὗν.
1106.1 Εἰπέ μοι,
1106.2 τί δ’ ἐστίν;
1107.1 Ὁ Ζεύς, ὦ πόνηρε, βούλεται
1107.2 εἰς ταὐτὸν ὑμᾶς συγκυκήσας τρύβλιον
1107.3 ἁπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.
1110.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
1110.2 Ἀτὰρ διὰ τί δὴ ταῦτ’ ἐπιβουλεύει ποεῖν
1110.3 ἡμᾶς;
1112.1 Ὁτιὴ δεινότατα πάντων πραγμάτων
1112.2 εἴργασθ’. Ἀφ’ οὗ γὰρ ἤρξατ’ ἐξ ἀρχῆς βλέπειν
1112.3 ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτόν, οὐ δάφνην,
1115.1 οὐ ψαιστόν, οὐχ ἱερεῖον, οὐκ ἄλλ’ οὐδὲ ἓν
1115.2 ἡμῖν ἔτι θύει τοῖς θεοῖς.
1116.1 Μὰ Δί’, οὐδέ γε
1116.2 θύσει· κακῶς γὰρ ἐπεμελεῖσθ’ ἡμῶν τότε.
unit_755.1 Καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει,
unit_755.2 ἐγὼ δ’ ἀπόλωλα κἀπιτέτριμμαι.
1119 Σωφρονεῖς.
1120.1 Πρότερον γὰρ εἶχον 〈ἂν〉 παρὰ ταῖς καπηλίσιν
1120.2 πάντ’ ἀγάθ’· ἕωθεν εὐθύς, οἰνοῦτταν, μέλι,
1120.3 ἰσχάδας, ὅς’ εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν·
1120.4 νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι.
unit_758 Οὔκουν δικαίως, ὅστις ἐπόεις ζημίαν
1125 ἐνίοτε τοιαῦτ’ ἀγάθ’ ἔχων;
1125.1 Οἴμοι τάλας,
1125.2 οἴμοι πλακοῦντος τοῦ ’ν τετράδι πεπεμμένου.
unit_761 «Ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.»
unit_762 Οἴμοι δὲ κωλῆς ἧς ἐγὼ κατήσθιον—
unit_763 Ἀσκωλίαζ’ ἐνταῦθα πρὸς τὴν αἰθρίαν.
1130 σπλάγχνων τε θερμῶν ὧν ἐγὼ κατήσθιον.
unit_765 Ὀδύνη σε περὶ τὰ σπλάγχν’ ἔοικέ τις στρέφειν.
unit_766 Οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης.
unit_767 Ταύτην ἐπιπιὼν ἀποτρέχων οὐκ ἂν φθάνοις.
unit_768 Ἆρ’ ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
1135 Εἴ του δέει γ’ ὧν δυνατός εἰμί ς’ ὠφελεῖν.
unit_770.1 Εἴ μοι πορίσας ἄρτον τιν’ εὖ πεπεμμένον
unit_770.2 δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν
unit_770.3 ὧν θύεθ’ ὑμεῖς ἔνδον.
1138 Ἀλλ’ οὐκ ἐκφορά.
unit_772 Καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
1140 ὑφέλοι’, ἐγώ ς’ ἂν λανθάνειν ἐποίουν ἀεί.
unit_774.1 Ἐφ’ ᾧτε μετέχειν καὐτός, ὦ τοιχωρύχε·
unit_774.2 ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.
unit_775

Ἔπειτα τοῦτόν γ’ αὐτὸς ἂν κατήσθιες.
unit_776 Οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί,
1145 ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.
unit_778.1 Μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
unit_778.2 Ἀλλὰ ξύνοικον, πρὸς θεῶν, δέξασθέ με.
unit_779 Ἔπειτ’ ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;
unit_780 Τὰ γὰρ παρ’ ὑμῖν ἐστι βελτίω πολύ.
unit_781 Τί δέ; ταὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
unit_782 «Πατρὶς γάρ ἐστι πᾶς’ ἵν’ ἂν πράττῃ τις εὖ.»
unit_783 Τί δῆτ’ ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ’ ὤν;
unit_784 Παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.
unit_785 Στροφαῖον; ἀλλ’ οὐκ ἔργον ἔστ’ οὐδὲν στροφῶν.
1155 Ἀλλ’ ἐμπολαῖον.
1155.1 Ἀλλὰ πλουτοῦμεν. Τί οὖν
1155.2 Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
unit_788 Ἀλλὰ δόλιον τοίνυν.
1157.1 Δόλιον; ἥκιστά γε·
1157.2 οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ’ ἁπλῶν τρόπων.
unit_790 Ἀλλ’ ἡγεμόνιον.
1159 Ἀλλ’ ὁ θεὸς ἤδη βλέπει.
1160 Ὥσθ’ ἡγεμόνος οὐδὲν δεησόμεσθ’ ἔτι.
unit_793.1 Ἐναγώνιος τοίνυν ἔσομαι. Καὶ τί ἔτ’ ἐρεῖς;
unit_793.2 Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,
unit_793.3 ποεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
unit_794 Ὡς ἀγαθόν ἐστ’ ἐπωνυμίας πολλὰς ἔχειν.
1165.1 Οὗτος γὰρ ἐξηύρηκεν αὑτῷ βιότιον.
1165.2 Οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
1165.3 σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
unit_796 Οὐκοῦν ἐπὶ τούτοις εἰσίω;
1168.1 Καὶ πλῦνέ γε
1168.2 αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
1170 ἵν’ εὐθέως διακονικὸς εἶναι δοκῇς.
1171 Τίς ἂν φράσειε ποῦ ’στὶ Χρεμύλος μοι σαφῶς;
unit_800 Τί δ’ ἐστίν, ὦ βέλτιστε;
1172.1 Τί γὰρ ἄλλ’ ἢ κακῶς;
1172.2 Ἀφ’ οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
1172.3 ἀπόλωλ’ ὑπὸ λιμοῦ· καταφαγεῖν γὰρ οὐκ ἔχω,
1175 καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός.
unit_803

Ἡ δ’ αἰτία τίς ἐστιν, ὢ πρὸς τῶν θεῶν;
unit_804 Θύειν ἔτ’ οὐδεὶς ἀξιοῖ.
1177 Τίνος οὕνεκα;
unit_806.1 Ὅτι πάντες εἰσὶ πλούσιοι. Καίτοι τότε,
unit_806.2 ὅτ’ εἶχον οὐδέν, ὁ μὲν ἂν ἥκων ἔμπορος
1180.1 ἔθυσεν ἱερεῖόν τι σωθείς, ὁ δέ τις ἂν
1180.2 δίκην ἀποφυγών, ὁ δ’ ἂν ἐκαλλιερεῖτό τις
1180.3 κἀμέ γ’ ἐκάλει τὸν ἱερέα· νῦν δ’ οὐδὲ εἷς
1180.4 θύει τὸ παράπαν οὐδὲν οὐδ’ εἰσέρχεται,
1180.5 πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μυρίοι.
1185 Οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
unit_809.1 Τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
unit_809.2 χαίρειν ἐάσας ἐνθάδ’ αὐτοῦ καταμένειν.
unit_810.1 Θάρρει· καλῶς ἔσται γάρ, ἢν θεὸς θέλῃ.
unit_810.2 Ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
1190 αὐτόματος ἥκων.
1190 Πάντ’ ἀγαθὰ τοίνυν λέγεις.
unit_813.1 Ἱδρυσόμεθ’ οὖν αὐτίκα μάλ’—ἀλλὰ περίμενε—
unit_813.2 τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
unit_813.3 τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
unit_813.4 Ἀλλ’ ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
1195 ἵν’ ἔχων προηγῇ τῷ θεῷ σύ.
1195.1 Πάνυ μὲν οὖν
1195.2 δρᾶν ταῦτα χρή.
1196 Τὸν Πλοῦτον ἔξω τις κάλει.
unit_817 Ἐγὼ δὲ τί ποιῶ;
1197 Τὰς χύτρας, αἷς τὸν θεὸν
unit_819.1 ἱδρυσόμεθα, λαβοῦς’ ἐπὶ τῆς κεφαλῆς φέρε
unit_819.2 σεμνῶς· ἔχουσα δ’ ἦλθες αὐτὴ ποικίλα.
unit_820 Ὧν δ’ οὕνεκ’ ἦλθον;
unit_821.1 Πάντα σοι πεπράξεται.
unit_821.2 Ἥξει γὰρ ὁ νεανίσκος ὥς ς’ εἰς ἑσπέραν.
unit_822.1 Ἀλλ’ εἴ γε μέντοι νὴ Δί’ ἐγγυᾷ σύ μοι
unit_822.2 ἥξειν ἐκεῖνον ὡς ἔμ’, οἴσω τὰς χύτρας.
unit_823 Καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
1205.1 αὗται ποιοῦσι. Ταῖς μὲν ἄλλαις γὰρ χύτραις
1205.2 ἡ γραῦς ἔπεστ’ ἀνωτάτω, ταύτης δὲ νῦν
1205.3 τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.
unit_825

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὐκέτι τοίνυν εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
unit_826 εἰς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org